δουλεύειν, τοσούτοις ζῆν, ἑαυτῷ δὲ μηδέποτε. Ἀλλ' οὐδὲν τούτων ἐστίν, ὦ φίλε Θεόδωρε, παρ' ἡμῖν καὶ αὐτόν σε μάρτυρα καλῶ. Ὅτε γὰρ τὸν βραχὺν ἐκεῖνον χρόνον ἀνακύψαι τῶν κυμάτων ἠθέλησας, οἶσθα πόσης εὐφροσύνης ἀπέλαυσας καὶ χαρᾶς. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἐλεύθερος ἀλλ' ἢ μόνος ὁ Χριστῷ ζῶν. Οὗτος ἁπάντων ἀνώτερος ἕστηκεν τῶν δεινῶν· ὅταν αὐτὸς ἑαυτὸν ἀδικῆσαι μὴ βούληται, ἕτερος τούτῳ οὐκ ἰσχύσει βλάψαι ποτέ, ἀλλ' ἔστιν ἀνάλωτος, οὐ ζημίᾳ χρημάτων δακνόμενος· ἔμαθεν γὰρ ὅτι « Οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον τοῦτον, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνησόμεθα »· οὐ πόθῳ φιλοτιμίας ἢ δόξης ἁλισκόμενος· ἔμαθεν γὰρ ὅτι « Ἡμῖν τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει ». Οὐ λοιδορῶν τις λυπεῖ, οὐ τύπτων παροξύνει· μία συμφορὰ Χριστιανῷ μόνη, τὸ προσκροῦσαι θεῷ· τὰ δὲ ἄλλα, οἷον χρημάτων ἀποβολήν, πατρίδος στέρησιν, τὸν ὑπὲρ τῶν ἐσχάτων κίνδυνον, οὐδὲ εἶναί τι νομίζει δεινόν. Καὶ ὃ πάντες πεφρίκασιν, τὸ ἐνθένδε ἐκεῖ ἀπελθεῖν, τοῦτο ἐκείνῳ τοῦ ζῆν ἥδιον. Ὥσπερ γὰρ ἄν τις εἰς ἄκρον σκόπελον ἀνελθὼν θεωρῇ τὴν θάλασσαν, καὶ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417115326/22 UNIVERSITÄT LEIPZIG